UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Timotheo clarißimo. 136.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

admodum etiam parcè atque indulgenter. Nam ſi rem accuratè atque exactè perpēdere velimus, non iumentis duntaxat, ſed etiam truculentis feris comparari poſſe videtur. Imò etiam eas ſuperat, qui turpiū affectionū ac libidinum amator eſt. Quódque mirum, atque ab hominum opinione alienum eſt, quæque fera vni tantùm vitio ſeruit: at qui hominis ſpeciem habet, omnibus vitiis in vnum congeſtis & cumulatis, vltra eorum temeritatem & amētiam progreditur. Ac ne me hyperbolicè loqui putes, res ipſas incorrupta mente perpendamus. Cùm enim quiſpiam vt taurus ſubſultat, vt aſinus calcitrat, vt ſalaciſſimus equus in fœminas hinnit, vt vrſus voracitati ſtudet, vt mulus corpus ſaginat, vt camelus iniuriarum memoriam retinet, vt leo iraſcitur, vt lupus rapit, vt ſcorpius ferit, vt ſerpens ſubdolus eſt, improbitatis venenum vt vipera conſeruat, opes denique, vel, vt rectiùs loquar, peccata cumulat, vt ſcarabeus ſcarabeas, quonam pacto quiſpiam hunc belluino animo prędítum, inter homines recenſere poterit, cùm mitis ac placidæ naturæ lineamenta in eo minimè perſpiciat, verùm Scyllæ cuiuſdam & Chimæræ, atque Hydræ (iuxta externas fabulas) fœtorem cernat? Quòd ſi quæras, Quidnam igitur faciendum eſt? illud reſpondeam, ſpirituale ſpecillū, hoc eſt, ſacras ſcripturas in quibus & proborū virorum hiſtoria, & ſalutares leges à Deo poſitæ continentur, perpetuò in manibus habendum eſſe. Hoc enim ſpeculum non modò deformitatem oſtendit: ſed etiam, ſi velimus, in incredibilem quandam pulchritudinem immutat.

φεισαμένως. εἰ γὰρ τὴν ἀκρίβειαν ἐξετάσοιμεν, οὐ τοῖς κτήνεσι μόνον, ἀλλὰ καὶ τοῖς ἀτιθάσσοις θηρίοις κινδυνεύει ἐοικέναι. μᾶλλον δὲ καὶ ὑπερβάλλει ταῦτα, ὁ τῶν αἰσχρῶν παθῶν ἐραστής. καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον τοῦτ᾽ ἔστιν, ὅτι ἕκαστον μὲν τῶν θηρίων ἑνὶ ἐλαττώματι δουλεύει, ὁ δὲ δοκῶν ἄνθρωπος εἶναι, πάνθ᾽ ὁμοῦ συμφορήσας, πορρωτέρω τῆς ἐκείνων ἀλογίας ὁδεύει. καὶ ἵνα μὴ ὑπερβολῆς εἶναι νομίσῃς τὰ ῥήματα, αὐτὰ τὰ πράγματα ἀδεκάστως βασανίσωμεν. ὅταν γάρ τις σκιρτᾷ μὲν ὡς ταῦρος, λακτίζῃ δὲ ὡς ὄνος, χρεμετίζῃ δὲ ἐπὶ γυναιξὶν, ὡς ἵππος θηλυμανὴς, καὶ γαστριμαργῇ μὲν ὡς ἄρκτος, πιαίνῃ δὲ τὸ σῶμα ὡς ἡμίονος, μνησικακῇ δὲ ὡς κάμηλος. καὶ ὀργίζηται μὲν ὡς λέων, ἁρπάζῃ δὲ ὡς λύκος, πλήττῃ δὲ ὡς σκορπίος· καὶ ὕπουλος μὲν ὑπάρχῃ ὡς ὄφις, ἰὸν δὲ πονηρίας διατηρῇ ὡς ἔχις, χρήματα δὲ, μᾶλλον δὲ ἁμαρτήματα συνάγῃ ὡς ὁ κάνθαρος τὴν κάνθαρον. πῶς δυνήσεταί τις μετὰ ἀνθρώπων τὸν θηριόφρονα τοῦτον ἀριθμεῖν, οὐχ ὁρῶν ἐν αὐτῷ τῆς ἡμέρου φύσεως τοὺς χαρακτῆρας, ἀλλὰ σκύλλης τινὸς καὶ χιμαίρας καὶ ὕδρας, κατὰ τοὺς ἔξωθεν μύθους, δυσωδίαν θεώμενος. εἰ δὲ φαίης, τί οὖν ποιητέον, φήσαιμι, ὅτι τὸ κάτοπτρον τὸ πνευματικὸν συνεχῶς μεταχειριστέον. φημὶ τὰς θείας γραφὰς, ἐν αἷς καὶ τῶν ἀγαθῶν ἀνδρῶν ἐστὶν ἡ ἱστορία, καὶ οἱ παρὰ τοῦ θεοῦ τεθέντες σωτηριώδεις νόμοι. τοῦτο γὰρ τὸ κάτοπτρον, οὐ δείκνυσι τὴν ἀμορφίαν μόνον, ἀλλὰ καὶ μετατίθησιν, ἂν ἐθέλωμεν, εἰς κάλλος ἀμήχανον.

Timotheo clariſsimo. 136.

Pietate, optime vir, nihil vtilius atque conducibilius. Nam ea laureatis quoque Imperatoribus ſartam tectámque ſubditorum obedientiam ſeruat. Hāc igitur ante oculos propoſitam habens, da operam, vt imperij ſcapham modereris: quò trāquilli, quantum in te ſitum erit, ij, quibus præes,

Τιμοθέῳ λαμπροτάτῳ. ρλϛ.

Εὐσεβείας οὐδὲν, ὦ ἄριστε, ὠφελιμώτερον. αὕτη γὰρ σώζει καὶ τοῖς τροπαιούχοις βασιλεῦσι τὸ ὑπήκοον. πρὸς ταύτην τοιγαροῦν βλέπων, εὐθύνειν πειρῶ τὸ τῆς ἀρχῆς σκάφος, ὅπως ἀχείμαστοι, τό γε σὸν μέρος, οἱ ἀρχόμενοι διαμένοιεν. εἰ δὲ πόνους ἔχει τὸ

πρᾶγμα ἔχει καὶ θυμηδίας. εἰ δὲ φαίης, οὐ κατὰ ταυτὸν, φαίην. οὐ γὰρ οἷόν τε, ἐπειδὴ γὰρ πολεμοῦντα διαλλαγῆναι οὐκ ἀνέχονται, διὰ τῶν κορυφῶν συνήφθησαν. ᾧ γὰρ οἱ πόνοι παραγένωνται, ἐπακολουθοῦσιν ὕστερον καὶ αἱ θυμηδίαι.

perſtent. Quòd ſi hoc negotium labores habet, iucunditates etiam animique voluptates habet. Quòd ſi dixeris, Non ſimul atque eodem tempore, reſpondeam, Nec enim fieri poteſt. Quandoquidem enim dum bellum gerunt, in mutuam gratiam redire non ſuſtinent, idcirco per ſummitates copulantur. Nam ad quem labores acceſſerint, voluptates etiam atque oblectamenta poſtea ſubſequentur.

Ἑρμίνῳ κόμητι. ρλζ.

Τὸ εὐημερεῖν τὸ πονηρὸν, καὶ τὸ ἐν τοῖς εἰς ἄκρον χαλεποῖς γίνεσθαι τὸν ἐπιεικῆ, καὶ τὴν εἰς λῆξιν ἡκόντων ἐπαίνων ἔμπλεω, δυστόπαστόν ἐστιν ἀληθῶς καὶ δυσέφικτον, καὶ τῆς ἀνθρωπότητος μέτρων ἐπέκεινά τε καὶ πορρωτάτω. θείοις γὰρ κρίμασι παραχωρεῖν ἀναγκαῖον, καὶ εἴπερ βουλόμεθα φρονεῖν ὀρθῶς, μόνῳ τῷ ἀκηράτῳ νῷ τῆς οἰκονομίας τὴν γνῶσιν ἀνάψαντες, πρὸς τὰ ἐν χερσὶ βαδιούμεθα, ἃ καὶ μόλις πρὸς ἡμῶν εὑρίσκεσθαι φιλεῖ. ἐπειδὴ δὲ οἴει δεῖν κατὰ τὸ ἐνδεχόμενον ἐπαμύναι τῷ λόγῳ, ἐπημύναμεν, ὥσγε ἠδυνήθημεν, ἐν τῷ πρὸς Ἕλληνας ἡμῖν γραφέντι λόγῳ, ᾧ ἐντυχὼν εἴσῃ τὴν λύσιν τοῦ προβλήματος.

Hermino Comiti. 137.

Quòd improbus homo ſecunda omnia habeat, ac contrà vir probus, atque omnibus laudibus, quæ in hominem cadere poſſunt, cumulatus, in acerbiſſimis malis verſetur, res profectò eſt coniectu atque comprehenſu difficilis, atque humanæ naturæ modulum quàm longiſſimè excedens. Id enim diuinis iudiciis permittere neceſſe eſt. Ac ſi rectè ſentire velimus, ſoli ſummæ illi atque ab omni labe aliænæ mēti conſilij huiuſce cognitione appenſa, ad ea, quæ in manibus noſtris ſunt (quæ etiā vix à nobis reperiri ſolent) nos cōferemus. Quoniam autem rectæ doctrinæ, quantum per viros licet, opem ferre oportere cenſes, in eo libro quem ad Gentiles edidimus, nos quoque pro virili noſtra opem tulimus. Quem ſi legeris quæſtionis huiuſce ſolutionem intelliges.

Ἀφροδισίῳ πρεσβυτέρῳ.

Εἰ μὴ ἀκριβῶς ἐπεπείσμην, ὅτι τὸ λεῖπον τῇ ἡμετέρᾳ γλώττῃ ἡ σὴ ἀπεπλήρου σύνεσις, οὐκ ἄν μοι δοκῶ, τάδε χαράξαι τὰ γράμματα. τί οὖν ἐστιν ὃ ἠθέλησας μαθεῖν, δι' ἣν ὁ ἀπόστολος αἰτίαν ἔφη Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω, τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος θεοῦ ἀλλ' ἔννομος Χριστοῦ, ἵνα κερδήσω ἀνόμους. μάλιστα μὲν ἀκριβοῦς ταῦτα βασάνου δεῖται, ἕως ἂν ἡ κεκρυμμένη ἐν αὐτοῖς ἀλήθεια, σαφῶς ὑποπέσῃ. συντόμως δὲ εἰρήσεται. ἐγένετο τοῖς

Aphrodiſio Presbytero. 138.

Niſi perſuaſiſſimum haberem, prudentiam tuam, id quòd linguæ meæ deerit, ſuppleturam, has vt opinor, ad te literas minimè cudiſſem. Quidnam igitur eſt, quod tibi explicari cupis? Quam ob cauſam ab Apoſtolo dictum ſit, Factus ſum Iudæis tanquam Iudæus, vt Iudæos lucri- *1. Cor. 9.*
facerem: his qui ſine lege erant, tanquam ſine lege eſſem (cum tamen ſine lege Dei non eſſem, ſed ſub Chriſti lege eſſem) vt eos, qui ſine lege eſſent, lucrifacerem. Sanè hæc accuratam ac diligentem examinationem requirunt, quoadusque veritas, ſub iis deliteſcens, perſpicuè eluceat. Quā